www.tezaurliturgic.ro



# ΤΥΠΙΚΟΝ

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἁγίου ἐν οἱαδήτινι ἡμέρᾳ, ἐκτός Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται ὡς εὕρηται ἐν τῇ παρούσῃ φυλλάδι.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας εἰς τό "Κύριε ἐκέκραξα" ἱστῶμεν στίχους ι' καί ψάλλομεν ἀναστάσιμα δ' καί τοῦ Ἁγίου τά ς'. Δόξα τοῦ Ἁγίου. Καί νῦν τό α' Θεοτοκίον τοῦ Ἤχου. Εἴσοδος καί τά Ἀναγνώσματα τῆς 23ης Ἀπριλίου.
Εἰς τά Ἀπόστιχα τά ἀναστάσιμα στιχηρά. Δόξα τοῦ Ἁγίου. Καί νῦν. Τό ὁμόηχον τοῦ ἤχου Θεοτοκίον. Ὢ θαύματος καινοῦ.
Ἀπολυτίκια τό ἀναστάσιμον, τά δύο τοῦ Ἁγίου καί νῦν Τό ἀπ' αἰῶνος ἀπόκρυφον.

3. Τῇ Κυριακῇ εἰς τό Μεσονυκτικόν μετά τόν Τριαδικόν ἡ Λιτή τοῦ Ἁγίου καί τά "Ἄξιόν ἐστιν. Ἀπολυτίκιον τοῦ Ἁγίου "Στρατείαν κατέλιπες". Ἐκτενής καί Ἀπόλυσις.

4. Εἰς τόν Ὄρθρον τά ἀπολυτίκια ὡς εἰς τόν Ἑσπερινόν. Καθίσματα κατά τήν α' καί β' στιχολογίαν ἀνά ἕν ἀναστάσιμον καί ἕν τοῦ Ἁγίου μετά τοῦ Θεοτοκίου αὐτοῦ. Μετά τόν πολυέλαιον τά τοῦ Ἁγίου, ὡς ἔχουσι. Τά Εὐλογητάρια, ἡ Ὑπακοή καί οἱ Ἀναβαθμοί τοῦ ἤχου. Κανόνες ὁ Ἀναστάσιμος καί ὁ τοῦ Ἁγίου. Ἀπό γ' ᾠδῆς Κοντάκιον καί Οἶκος τά Ἀναστάσιμα καί τό κάθισμα τοῦ Ἁγίου μετά τοῦ Θεοτοκίου αὐτοῦ. Ἀφ' ς' Κοντάκιον καί Οἶκος τοῦ Ἁγίου καί τό Μηνολόγιον.
Καταβασίαι. Ἀνοίξω τό στόμα μου (τῆς προεορτίου περιόδου τῶν Εἰσοδίων).
Ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου καί ἡ στιχολογία τῆς Τιμιωτέρας.
Ἐξαποστειλάρια τό τῆς Κυριακῆς, τοῦ Ἁγίου καί τό Θεοτοκίον. Εἰς τούς Αἴνους Ἀναστάσιμα δ' καί τοῦ Ἁγίου δ'. Δόξα τοῦ Ἁγίου. Καί νῦν. Ὑπερευλογημένη ὑπάρχεις. Δοξολογία μεγάλη καί τό "Σήμερον σωτηρία".

5. Εἰς τήν Λειτουργίαν τά συνήθη. Μετά τήν Εἴσοδον τά Ἀπολυτίκια ὡς εἰς τόν Ἑσπερινόν. Κοντάκιον Ὁ καθαρώτατος ναός τοῦ Σωτῆρος. Ἀπόστολος τοῦ Ἁγίου καί Εὐαγγέλιον τῆς Κυριακῆς.

6. Ἐν τῷ πανηγυρίζοντι μεγ. Μητροπολιτικῷ Ναῷ συνηθίζεται ὁ προεξάρχων Ἀρχιερεύς νά ἐνδύηται μετά τήν Δοξολογίαν ἐν τῷ μέσῳ τοῦ Ναοῦ, νά ἀπαγγέλλωνται κατά τήν Θ. Λειτουργίαν Δίπτυχα καί κατά τό Κοινωνικόν νά ψάλλωνται τά εἰς ἦχον γ' Ἐγκώμια τοῦ Ἁγίου.

7. Ἐπίσης τό εὐλαβῶς φυλαττόμενον ἐν αὐτῷ σεπτόν Λείψανον τοῦ Πολιούχου τίθεται ἐνωρίς ἀφ' ἑσπέρας καί μέχρι τῆς λήξεως τοῦ ὅλου ἑορτασμοῦ πρός προσκύνησιν τοῖς πιστοῖς ἐπί τραπέζης ηὐτρεπισμένης καί ἐν μέσῳ δύο ἀνημμένων μεγάλων λαμπάδων.

www.tezaurliturgic.ro

2

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ ΜΗΝΑ ΠΟΛΙΟΥΧΟΥ ΗΡΑΚΛΕΙΟΥ

Ψαλλομένη τῇ ΙΙῃ Νοεμβρίου

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό "Κύριε ἐκέκραξα" στίχ. ς'

Ἦχος πλ.δ' Ὢ τοῦ παραδόξου θαύματος.

Πάθος, Μηνᾶ, ἐκμιμούμενος τοῦ Ἀπαθοῦς, σεαυτόν ὡς ἀρνίον παρέδωκας πρός σφαγήν ἑκούσιον, ἀθλοφόρε πανεύφημε, θυμόν Ἀρχόντων οὐκ ἐδειλίασας, σαρκός αἰκίσεις οὐ κατενάρκησας. Ὢ τῶν ἀγώνων σου, καρτερᾶς ἐνστάσεως, δι' ὧν πρός γῆν, Μάρτυς, καταβέβληκας τόν ὑπερήφανον.

Μάστιξι καταξαινόμενος, καί ἐπί ξύλου ὡς πρίν ὁ Δεσπότης τεινόμενος, καί σιδήρῳ πάντοθεν τάς πλευράς δαπανώμενος, οὐκ ἐξηρνήσω Χριστοῦ τό ὄνομα, πρός τοῦτον ἔχων ψυχῆς τά ὄμματα. Ὢ συντονώτατα ἀτενίζων, Ἅγιε τά τῆς σαρκός, ἔφερες ἐπίπονα, Μηνᾶ μακάριε.

Μάρτυς Μηνᾶ πανοίδιμε, σύ τήν τοῦ κόσμου ἀχλύν, καί στρατείαν ἐπίκηρον, καί εἰδώλων σκότωσιν, ἀσεβῶν τε συνέδρια, τῇ ἀγαπήσει Χριστοῦ κατέλιπες, στρατολογίᾳ συναριθμούμενος τῶν ἐκλεκτῶν αὐτοῦ, ὅθεν καί ἀήττητος, πανάληθῶς, Μάρτυς, ἀναδέδειξαι, ὑπέρ αὐτοῦ ἐναθλῶν.

Ὢ τῶν ὑπέρ φύσιν ἄθλων σου καί τῶν ἀγώνων, Μηνᾶ, δι' ὧν ἄκρως διέπραξας, Μάρτυς πανοίδιμε, ἐξελέγξας τήν ἄγνοιαν, τήν τοῦ ἀθέου τυράννου ἅπασιν καί παρρησίᾳ Χριστόν ἐκήρυξας, ὅθεν καί γέγονας πρεσβευτής θερμότατος ὑπέρ ἡμῶν τῶν ἐπιτελούντων σου τήν μνήμην, Ἔνδοξε.

Μάρτυς Μηνᾶ πανοίδιμε, ξίφει τήν κάραν τμηθείς, τῇ πλημμύρᾳ τοῦ αἵματος, Φαραώ τόν δόλιον, ἀληθῶς κατεπόντισας καί νῦν πηγάζεις πᾶσιν ἰάματα, τοῖς τῷ ναῷ σου πίστει προστρέχουσι, καί τούς ἀγῶνάς σου ἐν αὐτῷ γεραίρουσι καί τήν σεπτήν μνήμην σου, Μακάριε, πανηγυρίζουσι.

Πᾶσαν τοῦ ἐχθροῦ τήν ἔφοδον καί διωκτῶν τάς ὁρμάς, καταλύσας τῇ χάριτι, τόν τῆς νίκης στέφανον ἀνεδήσω, πανόλβιε, τῆς ἀκηράτου ἀγαλλιάσεως, καί τῆς ἀφράστου καταξιούμενος θείας ἐλλάμψεως, ἔνθα νῦν γενόμενος, ἁμαρτιῶν τήν ἄφεσιν δώρησαι τοῖς εὐφημοῦσί σε.

www.tezaurliturgic.ro

Τόν ἀήττητον ἀθλητήν,καί γενναῖον ἐν μάρτυσι,Μηνᾶν τόν ἀοίδιμον, εὐφημήσωμεν,πιστοί· οὗτος γάρ ἐν σταδίῳ αὐτόκλητος ἐλθών,τοῦ ἐχθροῦ καθεῖλε τό φρύαγμα,καί τῶν εἰδώλων τό ἄθεον ἤλεγξε,τήν δέ πίστιν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τρανῶς ἀνεκήρυξε,παραδούς ἑαυτόν ὡς ἀρνίον εἰς σφαγήν ἑκούσιον. Διό καί παρ'αὐτοῦ ἐν οὐρανοῖς,στέφος τό ἀμαράντινον λαβών,ἀδιαλείπτως πρεσβεύει ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον. Ὁ Βασιλεύς τῶν Οὐρανῶν.

Εἴσοδος,Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καί τά ἀναγνώσματα τοῦ Ἁγίου Γεωργίου.(Ζήτει ταῦτα ἐν τῷ παραρτήματι τῆς παρούσης φυλλάδος σελίς 20)

Εἰς τήν ΛΙΤΗΝ. Ἦχος α.

Ἀγαλλιάσθω σήμερον φαιδρῶς ἡ τοῦ Χριστοῦ Ἐκκλησία,ἐν τῇ λαμπρᾷ καί παμφαεῖ πανηγύρει τοῦ πανενδόξου μάρτυρος Μηνᾶ. Τό σῶμα γάρ αὐτοῦ διά Χριστόν τόν Θεόν ἡμῶν,τῷ πυρί τῶν βασάνων ἐκδεδωκώς, τό πάχος τοῦ δερματίνου σαρκίου ἀπετέφρωσε,καί τῇ περιβολῇ τῆς χάριτος τόν κατ'εἰκόνα πλασθέντα ἄνθρωπον ἀνεκόμισε,σύμμορφος γενόμενος,Χριστῷ διά τοῦ πάθους,ὅθεν καί τῆς ἀναστάσεως αὐτοῦ συμμέτοχος γενόμενος,πρεσβεύει ἀδιαλείπτως ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος ὁ αὐτός.

Τόν ἀριστέα τοῦ Χριστοῦ,Μηνᾶν τόν ἀοίδιμον,συνελθόντες οἱ πιστοί ἐγκωμίοις μαρτυρικοῖς καί ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν,οὗτος γάρ, πρός ἐχθρούς ἀοράτους πόλεμον ὑπελθών,νομίμως ἀθλήσας,ἀξίως τό τῆς νίκης βραβεῖον ἐδέξατο,καί νῦν ἐν οὐρανοῖς μετ'ἀγγέλων χορεύων τήν ἀκατάλυτον χορείαν,αἰτεῖται τῇ οἰκουμένῃ εἰρήνην καί τό μέγα ἔλεος.

Ἦχος ὁ αὐτός.

Ὁ τῆς ὀρθῆς πίστεως γενναίως ἀγωνισθείς,κακοπαθήσας,ὡς καλός στρατιώτης Χριστοῦ τοῦ Θεοῦ,καί τῷ στρατολογήσαντι ἀρέσας,ἀγωνίζου καί νῦν ὑπέρ τῆς Ἐκκλησίας τόν καλόν ἀγῶνα,διατηρῶν αὐτῆς τά δόγματα καί τήν κρηπίδα ἀσάλευτον,Μηνᾶ πανένδοξε.

Ἦχος β'

Ῥήματα δικαστῶν καί ἀπειλάς τυράννων,οὐδόλως ἐπτόησαν τήν γενναίαν σου ψυχήν,Μηνᾶ παναοίδιμε,ἀλλά τῷ τῆς πίστεως σθένει,θαρραλέως

www.tezaurliturgic.ro

τήν ἐκείνων φρενοβλάβειαν διήλεγξας,καί τόν τοῦ μαρτυρίου στέφανον ἀξίως ἐκομίσω,νῦν δέ μετ'ἀγγέλων χορεύεις συναυλιζόμενος,πρεσβείαν ὑπέρ ἡμῶν ποιούμενος πρός Κύριον.

Ἦχος ὁ αὐτός.

Ὁ πάντα προγινώσκων Κύριος,ἀρρήτω προμηθείᾳ,σέ,Μάρτυς,ὡς εὔκαρπον κλῆμα προσῄκατο,ξίφει μαρτυρίου ποικίλως τεμνόμενος,καρτερίας δαψιλοῦς ἐπιφέροντα καρπούς,ἐξ ὧν τρέφονται πιστῶν καρδίαι,τῶν εὐφημούντων σε πόθῳ,Μηνᾶ,πανάοίδιμε.

Ἦχος δ.

Πρό τοῦ τιμίου Σταυροῦ σου,φοβερός ὁ θάνατος τοῖς ἀνθρώποις,μετά τό ἔνδοξον πάθος,φοβερός ὁ ἄνθρωπος τῷ θανάτῳ· οὕτως ἐνίσχυσεν ὁ ἀθλοφόρος,οὕτω κατήργησε πᾶσαν τοῦ ἐχθροῦ τήν δύναμιν,αὐτοῦ ταῖς πρεσβείαις,Χριστέ,σῶσον τάς ψυχάς ἡμῶν.

Δόξα. Ἦχος πλ. δ.

Δεῦτε ἅπαντες πιστοί,τόν τοῦ Χριστοῦ ἀθλητήν,Μηνᾶν τόν ἀοίδιμον, εὐσεβῶς ἀνευφημήσωμεν,οὗτος γάρ ἀνένδοτον ἔχων τό φρόνημα πρός Χριστόν τόν Υἱόν τοῦ Θεοῦ,τοῖς τυράννοις ἀντέστη καί πρός τάς βασάνους ἀνδρείως ἐτόλμησε,καρτερικῶς ἀντιλέγων: οὐ τά φθαρτά τῶν ἀφθάρτων ἀντικαταλλάσσομαι,οὐ βασιλεῖ θνητῷ καί γηΐνῳ,ἀλλά τῷ ζῶντι βασιλεῖ συστρατεύομαι,διά παντός βοῶντι τοῖς πιστοῖς,ὁ πιστεύων εἰς ἐμέ κἄν ἀποθάνῃ ζήσεται.

Καί νῦν, Θεοτοκίον. Ἐκ παντοίων κινδύνων......

Ἀπόστιχα

Ἦχος δ. Ὡς γενναῖος ἐν μάρτυσιν......

Τοῖς τριβόλοις κεντούμενος,τοῖς βουνεύροις τυπτόμενος,τῷ πυρί τό σῶμά σου δαπανώμενος,οὐκ ἐξηρνήσω τό ὄνομα Χριστοῦ τό σωτήριον, οὐχ ἡττήθης λογισμῷ,οὐ ξοάνοις ἐπέθυσας,ἀλλά γέγονας ἐθελόθυτον θῦμα καί θυσία,καθαρά τε καί τελεία,Μάρτυς Μηνᾶ,τῷ Δεσπότῃ σου.

www.tezaurliturgic.ro

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Τήν στρατείαν τήν πρόσκαιρ ν καταλέλοιπας, Πάνσοφε, καί σαυτόν ἐκδέδωκας ταῖς αἰκίσεσι, καί ἀπηνείᾳ δικάζοντος, σφοδρῶς τετραυμάτισαι καί τῷ ξίφει κεφαλήν ἀπετμήθης πολύαθλε, Μηνᾶ ἔνδοξε, ἀθλητά τοῦ Σωτῆρος ὁ νικήσας τοῦ ἐχθροῦ τάς παρατάξεις τῇ συνεργείᾳ τοῦ πνεύματος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἐστεφάνωσε Κύριος τῶν χαρίτων στεφάνῳ σε, Μηνᾶ παναοίδιμε, ἑκουσίως γάρ, σαυτόν βασάνοις ἐκδέδωκας, ψυχῆς γενναιότητι, καί ἠρίστευσας καλῶς κατά τοῦ πολεμήτορος, ὅθεν ἔτυχες, τῶν βραβείων τῆς νίκης ἐκ τοῦ μόνου ἀθλοθέτου ἐπαξίως, ἐν οὐρανοῖς εὐφραινόμενος.

Δόξα. Ἦχος β'

Δεῦτε φιλομάρτυρες σήμερον χαρμονικῶς, τῇ πανηγύρει συνδράμωμεν τοῦ ἀθλοθέτου Μάρτυρος Μηνᾶ, καί τοῦτον τοῖς ᾄσμασιν ὡς στέμμασι καταστέψωμεν: Χαίροις, βοῶντες αὐτῷ, ὁ στηλιτεύσας τῶν εἰδώλων θρησκείαν τήν ψευδώνυμον, χαίροις ὁ μεγαλύνας τήν ἀκράδαντον πίστιν, τοῦ παντάνακτος Χριστοῦ, χαίροις ὁ διά πολυπλόκων βασάνων τῆς οὐρανίου δόξης ἀξιωθείς, ἧς καί ἡμεῖς οἱ ὑμνῳδοί σου, ἐπιτύχοιμεν, Πολύαθλε.

Καί νῦν. Τήν πᾶσαν ἐλπίδα μου εἰς Σέ ἀνατίθημι...

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχύ προκατάλαβε.

Στρατείαν κατέλιπες τήν κοσμικήν, ἀθλητά, οὐράνιον εἴληφας τήν κληρουχίαν, Σοφέ, καί στέφος ἀμάραντον, δόξαν ἀποδιώξας βασιλέως γηΐνου, ἄθλους δέ διανύσας μαρτυρίου γενναίως. Διό Μεγαλομάρτυς Μηνᾶ, πρέσβευε σωθῆναι ἡμᾶς.

Ἕτερον. Δόξα. Ἦχος ὁ αὐτός

Μαρτύρων ἀγλάϊσμα καί πολιοῦχε ἡμῶν, πρεσβείαις σου, Ἅγιε, ταῖς πρός Θεόν καί λιταῖς, Μηνᾶ παναοίδιμε, φύλαττεἐκ κινδύνων συμφορῶν τε καί νόσων, πάντας τούς σέ τιμῶντας καί σήν μνήμην τελοῦντας· πολλήν γάρ, Μάρτυς, πρός Χριστόν τήν παρρησίαν πλουτεῖς.

Καί νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός. Τό ἀπ' αἰῶνος ἀπόκρυφον......

Ἀ π ό λ υ σ ι ς

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά τόν Ἑξάψαλμον εἰς τό "Θεός Κύριος" ψάλλομεν τά ἀπολυτίκια ὡς εἰς τόν ἑσπερινόν καί εἶτα τά:

### Καθίσματα

Μετά τήν α' στιχολογίαν.

Ἦχος πλ. δ' Τήν σοφίαν καί λόγον.

Εὐσεβείας τοῖς τρόποις ἀνδραγαθῶν,ἀσεβείας τήν πλάνην καταβαλών, Μάρτυς,κατεπάτησας τοῦ ἐχθροῦ τά φρυάγματα,τῷ γάρ θείῳ ζήλῳ τόν νοῦν πυρπολούμενος,τῶν εἰδώλων ἔσβεσας τό ἄθεον φρύαγμα,ὅθεν ἐπαξίως,ἀμοιβήν τῶν βασάνων,ἐδέξω τόν στέφανον καί παρέχεις ἰάματα,τοῖς ἐν πίστει προστρέχουσι,Μηνᾶ πανάοιδιμε,πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τήν ἁγίαν μνήμην σου.

Δόξα. Ὅμοιον.

Ἡ τῷ πρίν ἀγνωσίας σκότει δεινῷ,κρατουμένη θεόφρον,Μάρτυς Μηνᾶ,Αἴγυπτος ἀνέδειξε σέ φωστῆρα παγκόσμιον,ἀθεΐας νύκτα συντόνως ἐλαύνουσα ταῖς βολίσι,Μάκαρ,τῶν θείων ἀγώνων σου,ὅθεν τήν φωσφόρον καί σεπτήν σου ἡμέραν,φαιδρῶς ἑορτάζοντες,ἐκτενῶς σοι κραυγάζομεν,ἀθλητῶν ἐγκαλλώπισμα,πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,τοῖς ἑορτάζουσι πόθῳ τήν ἁγίαν μνήμην σου.

Καί νῦν. Θεοτοκίον.

(ο ϗ!)

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ,χαῖρε,κόρη καθέδρα βασιλική,κλίνη πορφυρόστρωτε,χρυσοπόρφυρε θάλαμε,χλαμύς ἁλουργόχροε,τιμαλφέστατον τέμενος,ἀστραπηφόρον ἅρμα,λυχνία πολύφωτε,χαῖρε Θεοτόκε,δωδεκάτοιχε πόλις καί πύλη χρυσήλατε,καί παστάς ἀγλαόμορφε,ἀγλαόχρυσε τράπεζα,θεοκόσμητον σκήνωμα,χαῖρε,ἔνδοξε νύμφη ἡλιοστάλακτε,χαῖρε μόνη ψυχῆς ἡμῶν ἡ εὐπρέπεια.

Μετά τήν β' στιχολογίαν.

Ἦχος δ'. Ταχύ προκατάλαβε........

Τήν κάτω καί πρόσκαιρον περιφρονήσας ζωήν,δραμών προθυμίας δέ ὅλος

www.tezaurliturgic.ro



πτεροῖς πρός Θεόν,ψυχῆς θερμῷ ἔρωτι,ἵλεως ἐποπτεύεις ἡμᾶς ἄνωθεν,Μάκαρ,πάντων πειρατηρίων ἀνωτέρους φυλάττων,τούς τήν ἁγίαν μνήμην σου, Μηνᾶ,πόθῳ τελοῦντας πιστῶς.

Δόξα."Ομοιον.

Καλῶς τόν ἀγῶνά σου τελέσας,Μάρτυς σοφέ,βραβεῖα τά θαύματα ἐκ τοῦ τῶν ὅλων Θεοῦ,ἐδέξω μακάριε,ὅθεν σε συνελθόντες κατά χρέος τιμῶμεν, μνήμην σου τήν ἁγίαν καί θαυμάτων τά πλήθη,διό,μεγαλομάρτυς Μηνᾶ,ρῦσαι κινδύνων ἡμᾶς.

Καί νῦν.Θεοτοκίον.

Ταχύ δέξαι,Δέσποινα,τάς ἱκεσίας ἡμῶν καί ταύτας προσάγαγε τῷ σῷ Υἱῷ καί Θεῷ,Κυρία Πανάχραντε,λῦσον τάς περιστάσεις τῶν εἰς σέ προστρεχόντων,σκέδασον τάς ἐνέδρας καί τά θράση,Παρθένε,τῶν νῦν ἐφοπλιζομένων κατά τῶν δούλων σου.

Μετά τόν πολυέλαιον.

Ἦχος πλ.α'. Τόν συνάναρχον λόγον.

Ἀρετῶν ταῖς ἰδέαις καταστραπτόμενος,μαρτυρίου τῷ φέγγει ὡραϊζόμενος,ὑπέρ ἥλιον,Σοφέ,ἐκλάμπεις,ἀδαμάντινε,καί φωτίζεις ἀληθῶς,τούς ἐκτελοῦντάς σου πιστῶς,τήν μνήμην τήν φωτοφόρον,πανένδοξε ἀθλοφόρε, καί προσκυνοῦντάς σου τά λείψανα.

Δόξα."Ομοιον.

Ἀδιστάκτῳ τῇ πίστει ὁ ἀθλοφόρος Χριστοῦ τῶν τυράννων τά θράση καταβαλών ἀνδρικῶς,ἀθλητικῶς τόν πονηρόν κατεπάλαισεκαί τῶν βασάνων ἀμοιβήν,τήν τῶν θαυμάτων παροχήν,ἐδέξατο ἐκ τοῦ μόνου,Θεοῦ τοῦ ἀγωνοθέτου,ῷ καί πρεσβεύει ἐλεηθῆναι ἡμᾶς.

Καί νῦν. Θεοτοκίον.

Ἡ θερμή προστασία καί ἀπροσμάχητος,ἡ ἐλπίς ἡ βεβαία καί ἀκαταίσχυντος,τεῖχος καί σκέπη καί λιμήν τῶν προστρεχόντων σοι,ἀειπάρθενε Ἁγνή,τόν Υἱόν σου καί Θεόν ἱκέτευε σύν ἀγγέλοις,εἰρήνην δοῦναι τῷ κόσμῳ καί σωτηρίαν καί μέγα ἔλεος.

Οἱ ἀναβαθμοί τοῦ δ' ἤχου. "Ἐκ νεότητός μου...."

www.tezaurliturgic.ro



Προκείμενον: " Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ".
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Πᾶσα πνοή. Εὐαγγέλιον,ἐκ τοῦ κατά Λουκᾶν: "Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς: Προσέχετε ἀπό τῶν ἀνθρώπων....."("Ορθρου Ἁγ.Γεωργίου).

Ὁ Ν' ψαλμ. Δόξα. Ταῖς τοῦ ἀθλοφόρου.....
Καί νῦν. Ταῖς τῆς Θεοτόκου.......
Στίχ.'Ελέησόν με ὁ Θεός... καί τό Ἰδιόμελον εἰς ἦχον πλ.β'.

Πάλιν ἡμῖν, ἡ ἐτήσιος μνήμη τοῦ ἀθλοφόρου ἀνέτειλε,Μηνᾶ, τῶν πιστῶν τάς καρδίας φωτίζουσα,τοῖς ὑπέρ Χριστοῦ διά Σταυροῦ ἀγωνίσμασι,διό τόν ἐν δόξῃ καί τιμῇ στεφανώσαντα αὐτόν,Χριστόν τόν Θεόν ἡμῶν,ἐν ὕμνοις τιμήσωμεν.

Εἶτα τό "Σῶσον ὁ Θεός τόν λαόν σου...."

Οἱ κανόνες τῆς Θεοτόκου. Εἶτα ὁ κανών τοῦ Ἁγίου.

Ὠδή Α'.Ἦχος πλ.δ'.Ὑγράν διοδεύσας.

Μηνᾶν τόν ἀοίδιμον ἀθλητήν,αἰνεῖν ἀρχομένῳ δώρησαί μοι Λόγε Θεοῦ, λόγον,ἵνα τούτου ἐπαξίως,τούς ἄθλους μέλψω τοῖς ᾄσμασι.

Ἠθῶν τῶν πατρῴων ἀποσκιρτῶν,τελείως,παμμάκαρ,καί θρησκείαν καταλιπών,τήν τῶν ἀσεβῶν καί τῶν εἰδώλων,ἀνδρείως πλάνην καθεῖλες τῇ χάριτι.

Νοός καθαρότητι σκοτασμόν,διέλυσας,μάρτυς,τῆς Αἰγύπτου,ὥσπερ φωστήρ,καί ταύτην ἐφώτισας βολίσι,ταῖς τῶν σεπτῶν σου ἀγώνων τρισόλβιε.

Θεοτοκίον.

Ἀρᾷ καθυπέβαλε τῶν βροτῶν,ποτέ ἡ προμήτωρ Εὔα γένος παρακοῇ,σύ δέ, Ἁγνή,ὅλως μετηγάγου,πρός εὐλογίαν,τόν Κτίστην κυήσασα.

Ἕτερος τοῦ Ἁγίου,οὗ ἡ ἀκροστιχίς:

Τιμῶ σε μάρτυς,Μηνᾶ,πίστεως λόγοις.

Ἦχος δ'.'Ανοίξω τό στόμα μου.

Τιμῶντι τήν μνήμην σου καί τούς γενναίους ἀγῶνάς σου,Μηνᾶ πανασίδιμε,αἴγλην ἐξ ὕψους μοι φωτοδότιδα,πεμφθῆναι ἐκδυσώπει,τό νέφος διώκουσαν τῆς ἀγνωσίας μου.

www.tezaurliturgic.ro



'Ιδεῖν ἐφιέμενος ἀθανασίαν τήν μέλλουσαν, θανεῖν τιμωρούμενος μάρτυς ἠγάπησας, τοῦ τόν θάνατον θανάτῳ καθελόντος, τό πάθος μιμούμενος, Μηνᾶ, μακάριε.

Μή φέρων ἀοίδιμε, Θεόν ὁρᾷν ὑβριζόμενον, ἐμάκρυνας ὄρεσιν ἐνδιαιτώμενος, καί πρός ἄθλησιν σαυτόν καί πρός ἀγῶνας, γυμνάζων οὕς ἤνυσας γνώμης στερρότητι.

Θεοτοκίον.

'Ως ἔμψυχος τράπεζα, ἄρτον χωρεῖς τῆς ζωῆς ἡμῶν, ὡς βάτος βαστάσασα, οὐ κατεφλέχθης τό πῦρ καί ὡς ἄμπελος ἀπότιστος βλαστάνεις, τόν βότρυν, πανάμωμε, τόν ἀγεώργητον.

Καταβασίαι: 'Ανοίξω τό στόμα μου.

'Ωδή Γ'. Σύ εἶ τό στερέωμα.

Νόμον ὑβριζόμενον, καί τόν Θεόν χλευαζόμενον, ἀκηκόως, εὐθύς ἐμακρύνθης, τοῦ γηΐνου στρατεύματος.

Γεγηθώς ἀνέδραμες εἰς ὕψος, μάρτυς θεσπέσιε, διά παντός σεαυτόν γυμνάζων, πρός τήν ἔνδοξον ἄθλησιν.

'Εκκαθάρας πρότερον, σαυτόν νηστείας καί δάκρυσι, καί προσευχαῖς, εἶτα πρός ἀγῶνας, γενναιόφρων ἐχώρησας.

Θεοτοκίον.

Ρῦσαι περιστάσεων, τούς σέ παρθένον κηρύττοντας, Μῆτερ Θεοῦ, λύτρωσε γεέννης, ἐν ἡμέρᾳ τῆς κρίσεως.

"Ετερος. Οὐκ ἐν σοφίᾳ.

Σεσοβημένος, τοῖς πανσόφοις λόγοις, ὁ τύραννος, σέ μαστίζει ἀφειδῶς, ὠμοῖς βουνεύροις οἰόμενος, τούτοις κατακάμψειν σε, Μηνᾶ μακάριε.

'Ενατενίζων νοεροῖς ὀφθαλμοῖς πρός τόν Κύριον, τῆς σαρκός τά δυσαχθῆ, βασάνων βάρη ὑπέφερες, γνώμης γενναιότητι, Μηνᾶ θαυμάσιε.

Μή δειλιάσας τῶν βασάνων τό λίαν ἐπίπονον, πνέων ζῆλου θεϊκοῦ, πρός τούς ἀγῶνας ἐχώρησας, κράζων, μή ζητούμενος, ἦλθον αὐτόκλητος.

Θεοτοκίον.

"Αδου πυλῶν με ὁ ἐκ σοῦ σαρκωθείς ἀνηγάγετο, ξύλου βρώσει πονηρᾷ, θα-

www.tezaurliturgic.ro



ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΥ ... ΠΡΟΣΚΥΝΗΜΑΤΙΚΟΥ ΝΑΟΥ ΑΓΙΟΥ ΜΗΝΑ

νατωθέντα, πανάμωμε, θάνατον ἑκούσιον καταδεξάμενος.

Κ α θ ί σ μ α τ α.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἀγωνισάμενος κατὰ τοῦ ὄφεως, ἔστησας τρόπαιον, Μηνᾶ μακάριε, ἐκ τῆς Αἰγύπτου γὰρ φωστὴρ, αὐγάζων τὴν εὐσέβειαν, πᾶσιν ἐξανέτειλας τὰς κινήσεις ποιούμενος, πρὸς τὸν ἀνατείλαντα ἐκ παρθένου Θεόπαιδος· δι' ὅν σφαγιασθεὶς, ἀθλοφόρε, θῦμα εὐῶδες γεγένησαι.

Δόξα, Καὶ νῦν Θεοτοκίον. Ὁ αὐτός

Τὰ ἐπουράνια φόβῳ ἠγάλλοντο, καὶ τὰ ἐπίγεια τρόμῳ ηὐφραίνοντο, ὅτε ἡ ἄχραντος φωνὴ, ὑπῆλθέ σοι Θεοτόκε. Μία γὰρ πανήγυρις ἀμφοτέροις ἐπέλαμψεν, ὅτε τὸν πρωτόπλαστον ὁ Δεσπότης ἐρρύσατο· διὸ σὺν τῷ ἀγγέλῳ βοῶμέν σοι. Χαῖρε ἡ κεχαριτωμένη.

Ὠδὴ Δ΄. Εἰσακήκοα Κύριε.

Ἀπιστοῦσιν ἐκραύγαζες, ἦλθον μὴ ζητούμενος δι' ἀγάπησιν, τοῦ δι' ἔλεος θελήσαντος, τὰ ἀμέτρητά μου λῦσαι πταίσματα.

Ἱλαρῷ τῷ προσώπῳ σου, ἔστης πρὸ τοῦ βήματος τοῦ δικάζοντος, καὶ Θεὸν ἐνανθρωπήσαντα, προφανῶς τοῖς πᾶσιν ἀνεκήρυξας.

Ρητορεύοντος ἔνδοξε, μὴ δυνάμενός σου κάμπτειν ὁ τύραννος, τὸ στερρὸν ταῖς ὑποσχέσεσι, τοῖς ὠμοῖς βουνεύροις κατεδίκασε.

Θεοτοκίον.

Ὢ καινοῦ θεωρήματος, πῶς ἐν μήτρᾳ ἔσχες τὸν ἀπερίγραπτον, πῶς τῷ κόσμῳ ἀπεκύησας, τὸν τὸν κόσμον κατέχοντα Κύριον.

Ἕτερος. Ὁ καθήμενος ἐν δόξῃ.

Ραντισμῷ σου τῶν αἱμάτων, κατεσβέσθησαν ἄνθρακες, τῆς πολυθεΐας, φάλαγξ τῶν δαιμόνων βεβύθισται, ἡ τοῦ Χριστοῦ ἐκκλησία κατηρδεύθη δὲ, ἀθλοφόρε παμμάκαρ, Μηνᾶ, εὐφημοῦσά σε.

Τῇ ἐν ξύλῳ ἀναρτήσει, εἰκονίζεις τὸ πάθημα, τοῦ σταυροῦ τὸν ὄφιν μάρτυς τὸν πικρὸν θανατώσαντος, τοὺς δὲ ξεσμοὺς ὑπομένεις προξενοῦντάς σοι, ἀπολαύσεις τὰς ἐν οὐρανοῖς γενναιότατε.

www.tezaurliturgic.ro



Ὑπὲρ φύσιν ἀλγηδόνων, ἀθλητά, πεῖραν ἔλαβες, ὁ γὰρ θεῖος ἔρως, σοῦ κατακρατήσας τῆς φύσεως, λήθην Μηνᾶ ἐνεποίει, ἐρεθίζων σε, ἐπεκτείνεσθαι, πρὸς αἰκισμοὺς ἀγαλλόμενον.

Θεοτοκίον.

Σαρκωθέντα ἀπορρήτως, τὸν Θεὸν ἀπεκύησας, ἐκ τῶν σῶν αἱμάτων, οἶκον ἑαυτῷ δωρησάμενον, τὸν ἐν δυσὶ ταῖς οὐσίαις καὶ θελήσεσι, γνωριζόμενον θεοπρεπῶς, ἀπειρόγαμε.

Ὠδὴ Ε΄. Φώτισον ἡμᾶς.

Τρίζων τῷ θυμῷ, δικαστὴς ὀδόντας ἔλεγε, τοῖς ὠμοτάτοις δημίοις, τύψατε, τὸν τοὺς μεγάλους θεοὺς ἡμῶν βλασφημήσαντα.

Ὅλος ἀφειδῶς αἰκισθείς, Μηνᾶ, μακάριε, οὐκ ἐξηρνήσω Χριστοῦ τὸ ὄνομα, ἀλλὰ λαμπρῶς ἀνεφώνεις, Σύ μου στερέωμα.

Κάλλος οὐρανῶν, φανταζόμενος ἀείμνηστε, καὶ θεϊκῇ στοργῇ πυρακτούμενος, τοὺς τῶν ἐχθρῶν αἰκισμούς, ὡς ὄναρ λελόγισαι.

Θεοτοκίον.

Λύσιν τῶν δεινῶν, οἷσπερ πάντοθεν συνέχομαι, ταῖς σαῖς πρεσβείαις ὁ τάλας εὕροιμι, θεογεννήτρια κόρη καὶ ἀπειρόγαμε.

Ἕτερος. Ἀσεβεῖς οὐκ ὄψονται.

Μαρτυρίου ἤστραψας, φαιδρῶς μαρμαρυγαῖς, ἀμαυρώσας τὴν ζοφερὰν ἀθεΐαν πάνσοφε, καὶ κατεφώτισας τῶν πιστῶν πληρώματα, Ἀθλητὰ Μηνᾶ πανεύφημε

Ἠφανίσθη ἅπασα ἀπήνεια ἐχθρῶν, τῇ στερρᾷ σου ὑπομονῇ, οὐ λιμός, οὐ μάστιγες, οὐδὲ κατάφλεξις, οὐ τριβόλων κάκωσις, σοῦ τὸ πρόθυμον ἠμαύρωσε.

Θεοτοκίον.

Νεουργεῖ φθαρέντα με τικτόμενος ἐκ σοῦ, ὑπὲρ φύσιν ὁ λυτρωτὴς παλαιᾶς κατάρας με ἐκλυτρωσάμενος, Θεομῆτορ ἄχραντε, ὃν ἱκέτευε σωθῆναι ἡμᾶς.

Ὠδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.

Ἐβύθισας Φαραώ, τὸν νοητόν, ἀξιάγαστε, ταῖς τῶν αἱμάτων ῥοαῖς καὶ πᾶσαν κατέσβεσας, ἀθεΐας φλόγωσιν, καὶ τῶν ὀρθοδόξων τὰ συστήματα κατήρδευσας.

www.tezaurliturgic.ro



'Ολόκληρον τῷ Θεῷ, τήν τῆς καρδίας προαίρεσιν προσῆξας καί δι'αὐτόν τάς σάρκας ξεόμενος, τριχίνοις ὑφάσμασι, καρτερόφρον, ἔστης, ἀλγηδόσιν ἀγαλλόμενος.

Σύ δριμυτάτῃ πυρός, φλογί γενναίως ὡμίλησας, πεπυρσευμένος πυρί τῷ θείῳ τῆς πίστεως, Μηνᾶ παμμακάριστε, καί τῆς εὐσεβείας σαφῶς ζήλῳ πυρπολούμενος.

Θεοτοκίον

Τήν μόνην ἐν γυναιξίνεὐλογημένηνθεόπαιδα, ὑμνήσωμεν οἱ πιστοί, καί χαῖρε βοήσωμεν, Παρθένε πανάμωμε, Θεοτόκε χαῖρε, σωτηρίας ἡμῶν πρόξενε.

Ἕτερος. 'Εβόησε προτυπῶν.

'Ανάλωτος διαμένεις πυρί δαπανώμενος, καί τριχίνοις τάς πλευράς προστριβόμενος ῥάκεσιν, ἡ γάρ θεία χάρις, συμπαροῦσα, Μηνᾶ, σέ ἐνίσχυσε.

Παρίστασο πρό βημάτων τυράννων κρινόμενος, καί τήν πλάνην στηλιτεύων, Μηνᾶ πανaοίδιμε, ἑαυτόν δέ στήλην εὐσεβείας πιστοῖς παρεχόμενος.

'Ιδρῶσι σου καί ἀγῶσι τήν πλάνην ἐξήρανας τῶν εἰδώλων, σεαυτόν δέ ναόν ᾠκοδόμησας, τῆς σεπτῆς Τριάδος, ἀθλοφόρε, Μηνᾶ, πανaοίδιμε.

Θεοτοκίον.

'Ιάτρευσον τά ἀνίατα πάθη, πανάμωμε, τῆς ψυχῆς μου τῇ μοτώσει τῆς σῆς ἀγαθότητος, ἀγαθόν σωτῆρα, τόν Χριστόν τοῖς ἐν κόσμῳ κυήσασα.

Κοντάκιον. Ἦχος δ', 'Επεφάνης σήμερον.

Τῆς στρατείας ἥρπασε τῆς ἐπικήρου, καί ἀφθάρτου ἔδειξε σέ ἀθλοφόρε κοινωνόν, Μηνᾶ, Χριστός ὁ Θεός ἡμῶν, ὁ τῶν μαρτύρων, ἀκήρατος στέφανος.

'Ο οἶκος.

Μεγάλης πρόξενος ἡμῖν ὑπάρχει θυμηδίας ἡ μνήμη τῶν μαρτύρων, κατά παθῶν ἀνδρείαν καί ἀριστείαν κατ'ἐχθρῶν ἐπιδεικνυμένη, ἐν φαιδρᾷ καί προσηνεῖ ὁμολογίας χάριτι. Δεῦτε οὖν ἐν ταύτῃ φιλέορτοι πάντες εὐφρανθῶμεν τῆς προσκαίρου εὐφροσύνης τήν κρείττονα καί τελειωτέραν, Μηνᾶ, τοῦ ἀθλητοῦ τήν μνήμην τελοῦντες καί λαμβάνοντες παθῶν δῶρον τήν λύσιν· ὁ τούτων γάρ δωτήρ, Χριστός ὁ Θεός ὑπάρχει, ὁ τῶν μαρτύρων ἀκήρατος στέφανος.

www.tezaurliturgic.ro



Τῇ ΙΑ΄ τοῦ αὐτοῦ μηνὸς μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Μηνᾶ, τοῦ τροπαιοφόρου καὶ θαυματουργοῦ.

Αἴγυπτος ὄντως, ἐν τέκῃ τίκτει μέγα.
Τμηθεὶς ἀληθὲς τοῦτο Μηνᾶς δεικνύει.
Μηνᾶς ἑνδεκάτῃ ξίφος ἔτλη γηθόσυνος κήρ.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

᾿Ωδὴ Ζ΄. Παῖδες ῾Εβραίων.

῎Ωφθης γενναῖος στρατιώτης τοῦ παντάνακτος Χριστοῦ, μάρτυς θεόφρον· τοῖς ὀξέσι καὶ γὰρ κεντούμενος τριβόλοις, τοῦ ψυχοφθόρου δράκοντος, σὺ συνέτριψας τὰ κέντρα.

Νοῦν ἀνεβίβασας εἰς ὕψος, ἀναρτώμενος, τρισμάκαρ, ἐπὶ ξύλου· καὶ βοῶν τῷ Χριστῷ οὐκ ἔπαυσας καὶ λέγων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Μόνην σε πᾶσαν τῶν ἀνθρώπων, μακαρίζουσιν αἱ γενεαί, παρθένε, ὁ Θεὸς γὰρ ἐκ σοῦ σαρκούμενος ὡράθη· ᾧ μελῳδοῦμεν, Κύριε, ὁ Θεὸς εὐλογητὸς εἶ.

῞Ετερος. ῾Ο διασώσας ἐν πυρί.

Συναπεβάλου ταῖς πληγαῖς, σοῦ τοὺς δερματίνους χιτῶνας τῆς ἁμαρτίας καὶ στολήν, ἐνεδύσω μηκέτι παλαιῶσιν δεχομένην, μακάριε, ἥν ἐξύφανεν ἡ χάρις ἐπιφανεῖσα.

Τῇ πυρπολήσει τῶν πολλῶν, μάρτυς, καὶ σεπτῶν σου ἀγώνων ἀκανθώδης πονηρά, ἀθεΐα τεφροῦται, αἱμάτων τε ταῖς ῥοαῖς ἀποσβέννυνται, ἀγνωσίας ἐπηρμένη πυρά, παμμάκαρ.

῎Εχων ἀφθόνως δωρεὰς καὶ θαυματουργίας πηγάζεις, τοῖς τὴν σεπτήν σου ἑορτὴν ἐκτελοῦσι, Μηνᾶ ἀξιάγαστε, καὶ συμπράττεις τοῖς ψάλλουσιν· ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ.

Θεοτοκίον.

Εὐλογημένος ὁ καρπὸς τῆς εὐλογημένης γαστρός σου, ὃν εὐλογοῦσιν οὐρανῶν αἱ δυνάμεις, βροτῶν τε συστήματα, ὁ ἡμᾶς λυτρωσάμενος, τῆς κατάρας τῆς ἀρχαίας, εὐλογημένη.

www.tezaurliturgic.ro



'Ωδή Η'. Τόν ἐν ὄρει ἁγίῳ.

'Ανεκφράστῳ χαρᾷ προσεκαρτέρεις, πυρός φλόγα, μιμούμενος τούς παῖδας τούς ἐν καμίνῳ γηθοσύνως μέλψαντας. Κύριον ὑμνεῖτε καί ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας.

Ρωσθείς μάρτυς τῷ τοῦ Κυρίου σθένει, τόν αὐχένα ὑπέκλινας δημίοις, καί διά ξίφους εἴληφας τόν στέφανον, τόν τοῦ μαρτυρίου· ὅθεν συμβασιλεύεις Χριστῷ εἰς τούς αἰῶνας.

Θεοτοκίον.

Τήν παρθένον ἀσπόρως συλλαβοῦσαν, καί τεκοῦσαν τόν ἕνα τῆς Τριάδος καί μετά τόκον ὡς πρό τόκου μείνασαν, ἄφθορον παρθένον, πίστει σέ ὑμνοῦμεν ἁγνή εἰς τούς αἰῶνας.

Ἕτερος. Παῖδας εὐαγεῖς.

'Ωράθης ὡς ἄρτος ἐν τῷ μέσῳ πυρᾶς ἁπτομένης ἐξοπτώμενος, θῦμα ὡς ἀμώμητον, τέλειον ὡς σφάγιον, ὡς ἱερεῖον ἔμψυχον ὁλοκαυτούμενος, καί θείαν εὐωδίαν ἐκπέμπων, ἥν Θεός ὠσφράνθη, Μηνᾶ, Χριστοῦ θεράπον.

Συρόμενος, μάρτυς, καί τριβόλοις, ὀξέσι κεντούμενος συνέτριψας κέντρα τοῦ ἀλάστορος, ξίφει δέ τεμνόμενος, ὡς ἐν ἐκστάσει πίστεως ὅπλοις διέκοψας, ἀνόμων κεφαλάς ἀθλοφόρε, μέλπων, εὐλογεῖτε Χριστόν εἰς τούς αἰῶνας.

Λυθείς τῆς σαρκός πληγῇ τοῦ ξίφους, στοργῇ συνεδέθης τελεώτερον, μάρτυς τοῦ Δεσπότου σου, ὅν πρόσωπον πρός πρόσωπον, νῦν καθορᾷς θεούμενος Μηνᾶ, καί μέλπεις αὐτῷ· τόν Κύριον ὑμνεῖτε τά ἔργα, καί ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας.

Θεοτοκίον.

Οἰκεῖ ἐν γαστρί σου ὑπέρ λόγον, ὁ λόγῳ δημιουργήσας κτίσιν ἅπασαν Βρέφος καθορᾶται δέ, σοῦ ἀποτικτόμενος, ὁ πρό αἰώνων ἄχραντε ἐκ τοῦ Πατρός γεννηθείς, ὅν πᾶσα εὐλογεῖ καί δοξάζει, κτίσις Θεοτόκε, εἰς πάντας τούς αἰῶνας.

'Ωδή Θ'. Ἐξέστη ἐπί τούτῳ ὁ οὐρανός.

'Υπέστης μέχρι τέλους καρτερικῶς, τήν εἱρκτήν, τά δεσμά καί τάς μάστιγας, τούς αἰκισμούς, αὖθίς τε τριβόλους καί τούς ξεσμούς, καί τῷ πυρί ὡμίλησας, μάρτυς πανσοφώτατε τοῦ Χριστοῦ. καί τέλος ἀπετμήθης, τήν κάραν

www.tezaurliturgic.ro



ἀθλοφόρε,καί στεφηφόρος,ἀναδέδειξαι.

Ρυσθῆναι τῶν παγίδων τοῦ πονηροῦ,τῶν σκανδάλων καί πάσης αἱρέσεως καί πειρασμοῦ,πάντα τά συστήματα τῶν πιστῶν,καί τῶν ἐπιτελούντων σου μνήμην τήν πανίερον καί φαιδράν,αἰτούμενος μή παύσῃ,τῆς ἄνω βασιλείας,ἀξιωθῆναι παμμακάριστε.

Ὡς ἔχων παρρησίαν πρός τόν Θεόν,καί τῷ θρόνῳ αὐτοῦ παριστάμενος διηνεκῶς,αἴγλην τήν ἐκεῖθεν,μάρτυς Μηνᾶ,τήν τό πικρόν σκεδάζουσαν, νέφος τῶν πολλῶν μου ἁμαρτιῶν,κατάπεμψον παμμάκαρ,προθύμῳ τῇ καρδίᾳ τῷ τάς ᾠδάς σοι ἐξυφάναντι.

Θεοτοκίον

Νοῆσαι κατ'ἀξίαν οὐ σθένει νοῦς,οὐδέ γλῶσσα εἰπεῖν,μητροπάρθενε τόκου τοῦ σοῦ,βάθος τό ἀπόρρητον καί φρικτόν· διόπερ τοῦτο σέβομεν πίστει ἀδιστάκτῳ καί σιωπῇ· καί σέ δοξολογοῦμεν,ὡς διά σοῦ σωθέντες τήν παμμακάριστον,πανάμωμε.

Ἕτερος. Εὔα μέν τῷ τῆς παρακοῆς.

Γῆ σου νῦν τό σῶμα τό στερρῶς,μακάριε,ἐναθλῆσαν κατεκάλυψε·φέρει τό πνεῦμα οὐρανός δέ,σύν πνεύματι μαρτύρων γηθόμενον,δόξῃ λαμπόμενον· ὅθεν σε πάντες μακαρίζομεν.

Οἰκεῖς μετ'ἀγγέλων ἐν φωτί,ἰσάγγελον πολιτείαν ἀσπασάμενος· βλέπεις νοΐ κεκαθαρμένῳ,Μηνᾶ,τήν τοῦ Κυρίου τερπνότητα,πλουσίως ταῖς ἐκεῖθεν λαμπόμενος,φωτοχυσίαις,ἀξιάγαστε.

Ἰδών τόν ποθούμενον Χριστόν πανεύφημε,ἀπολαύεις τῆς θεώσεως· ἔστης τοῦ πόθου ἐπιφθάσας,Μηνᾶ,τῶν ἐφετῶν τό ἀκρότατον· ἡμῶν δέ μνημονεύοις τῶν πόθῳ σου τήν μνήμην τελούντων τήν πανίερον.

Θεοτοκίον.

Σαρκί καθ'ὑπόστασιν ἡμῖν ἐποίησας,Θεόν Λόγον,μητροπάρθενε· ὅθεν κυρίως Θεοτόκον,καρδίᾳ σε καί γλώσσῃ κηρύττομεν,φωνήν σοι τοῦ Γαβριήλ προσφθεγγόμενοι,χαῖρε,παρθένε πάντων Δέσποινα.

www.tezaurliturgic.ro



Αἱ καταβασίαι: "Ἀνοίξω τὸ στόμα μου....ταύτης τὴν εἴσοδον", ὡς τῇ 8ῃ Νοεμβρίου, λόγῳ τῆς ἐπικειμένης ἑορτῆς τῶν Εἰσοδίων. Ἀκολούθως στιχολογοῦμεν " Τὴν Τιμιωτέραν.....".

Ἐξαποστειλάρια.

Ὁ οὐρανὸν τοῖς ἄστροις.

Σθένει ῥωννύμενος ὄντως, τῆς ὑπερθέου Τριάδος, Μηνᾶ πανένδοξε Μάρτυς, πρὸς τὰς βασάνους ἀνδρείως, ἀπηυτομόλησας χαίρων, νενικηκὼς τὸν Βελίαρ.

Ὅμοιον.

Τῇ πρὸς Θεὸν σου ἐντεύξει, παντοίας βλάβης λυτροῦνται οἱ τῷ σεπτῷ σου τεμένει, προστρέχοντες μετὰ πόθου, διὸ καὶ Κρήτη γεραίρει, προστάτην σε κεκτημένη.

Θεοτοκίον.

~~Ἱερωτάταις φωναῖς σε, σεπτοὶ προφῆται, Παρθένε, κατήγγειλαν ἐσομέ~~νην Θεοῦ μητέρα διὸ σε, εἰδότες, πίστει καὶ πόθῳ γεραίρομεν, Θεοτόκε.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχ. δ΄. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων....

Οἱ ἐρασταὶ τῶν μαρτύρων ἀνευφημήσωμεν, Χριστοῦ τὸν στρατιώτην καὶ γενναῖον ὁπλίτην, Μηνᾶν τὴν τῶν εἰδώλων πλάνην ὀρθῶς καθελόντα καὶ τύραννον, ἐν παρρησίᾳ αἰσχύναντα, καὶ πιστοὺς χαρᾶς ἀρρήτου πληρώσαντα.

Μὴ δειλιάσας βασάνων, Μάρτυς ἀοίδιμε, ἐπίπονον τὸν λίαν, θεϊκὸν πνέων ζῆλον, εἰσῆλθες πρὸς ἀγῶνας καὶ τὸν Χριστὸν ὡς Θεὸν ἀνεκήρυξας, τὸν ἐπ' ἐσχάτων τεχθέντα ἐκ Μαριάμ, εἰς τὸ σῶσαι τὸ ἀνθρώπινον.

Οὐ πῦρ, οὐ βούνευρα, ξίφη, βούκεντρα, θάνατος, τῆς τοῦ Χριστοῦ ἀγάπης, ἴσχυσάν σε χωρίσαι, ἀλλ' ἄσμενος τὸ πάθος τοῦ ἀπαθοῦς μιμούμενος ἔδωκας, ὥσπερ ἀρνίον, Μακάριε, σεαυτὸν, πρὸς σφαγὴν, Μηνᾶ, ἑκούσιον.

www.tezaurliturgic.ro



Ταῖς τῶν θαυμάτων ἀκτῖσι, πᾶσαν φωτίζεις τήν γῆν, τούς ἐν θαλάσση, μάκαρ, βοηθεῖς καθ'ἑκάστην, νοσήματα διώκεις, πάθεις ψυχῆς καί σαρκός, ἀρρωστήματα, παρά Κυρίου τήν χάριν, Μάρτυς Μηνᾶ, εἰληφώς, Θεομακάριστε.

Δόξα. Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ ἡ πόλις Ἡρακλείου, ἀγάλλου καί χόρευε, πίστει λαμπροφοροῦσα, Μηνᾶν τόν πανένδοξον ἀθλητήν καί μάρτυρα τῆς ἀληθείας, ἐν κόλποις κατέχουσα ὡς θησαυρόν. Ἀπόλαυε τῶν θαυμάτων τάς ἰάσεις καθορῶσα, καί βλέπε φυγαδεύοντα τῶν βαρβάρων τά θράση καί εὐχαρίστως τῷ Σωτῆρι ἀνάκραξον: Κύριε, δόξα Σοι.

Καί νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τάς δεήσεις προσδεχομένη καί θλιβομένων στεναγμόν μή παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Δοξολογία Μεγάλη καί ἀπόλυσις.

www.tezaurliturgic.ro



Εἰς τὴν Λειτουργίαν.

᾿Απόστολος καὶ Εὐαγγέλιον τοῦ ῾Αγίου Γεωργίου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

## Μ Ε Γ Α Λ Υ Ν Α Ρ Ι Α

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὸν μάρτυρα Κυρίου.

Αἱ γενεαὶ πᾶσαι, σὲ δοξολογοῦμεν, Μηνᾶ μάρτυς Κυρίου.

Βέλη τῶν τυράννων, κατέπτυσας, πολύτλα, ὑπὲρ Χριστοῦ ἀγάπης.

Γεραίρομεν ἐν ὕμνοις, τὴν μνήμην σου θεόφρον, Μηνᾶ θαυματοβρῦτα.

Δεσπότην τῶν ἁπάντων, ἀνδρείως ἐν σταδίῳ, ἐκήρυξας, παμμάκαρ.

Εἰδώλων τῶν ἀψύχων, κατήργησας τὴν πλάνην, τῇ σῇ στερρᾷ θελήσει.

Ζέων θείῳ πόθῳ, στρατείαν ἐβδελύξω, τὴν κοσμικὴν παμμάκαρ.

῾Ημᾶς τοὺς σὲ τιμῶντας, Μηνᾶ θαυματοβρῦτα, φύλαττε ἐκ κινδύνων.

Θελήσει αὐθορμήτῳ, Μηνᾶ, πρὸς τὰς βασάνους, προσέδραμες γενναίως.

῾Ιλέωσε τὸν Κτίστην, ὑπὲρ ἡμῶν λιταῖς σου, Μηνᾶ μεγαλομάρτυς.

Καλῶς τοῦ μαρτυρίου, διήνυσας τὸν δρόμον, καὶ στέφος ἐκομίσω.

Λιταῖς σου ἀθλοφόρε, Μηνᾶ θαυματοβρῦτα, σῷζε ἡμᾶς κινδύνων.

Μηνᾶ μεγαλομάρτυς, τιμῶμεν σου τὴν μνήμην, σήμερον ἐπαξίως.

Νενίκηκας τυράννων, τὴν ὀφρὺν καὶ θράσος, Μηνᾶ μάρτυς Κυρίου.

Ξεσμοὺς καὶ τιμωρίας, ὑπὲρ Χριστοῦ ὑπέστης, Μηνᾶ ἀνδρειοφρόνως.

῎Ορει προσεπέβης, νηστείαις προηγνίσθης, καὶ προσευχαῖς τρισμάκαρ.

Παλαίστρας μαρτυρίου, τοῦ σοῦ ἀγγέλων δῆμοι ἐθαύμασαν ὁρῶντες.

www.tezaurliturgic.ro



῾Ρεῖθρα τῶν θαυμάτων,ἐκβλύζει ὁ Ναός σου,τοῖς προσκυνοῦσι πόθῳ.

Σύν Βικεντίῳ μάρτυς,καί Βίκτωρι τοῖς θείοις,σέ σήμερον ὑμνοῦμεν.

Τριάδα τήν ἁγίαν,ὑπέρ ἡμῶν δυσώπει,ὡς ἔχων παρρησίαν.

῞Υμνους ἑορτίους,προσᾴδομέν σοι,μάκαρ,σήμερον τῇ σῇ μνήμῃ.

Φύλαττε ἐκ νόσων,καί συμφορῶν καί ζάλης,τούς σέ,Μηνᾶ,τιμῶντας.

Χρεωστικῶς τιμῶμεν,σήμερον τήν σήν μνήμην,ἡμῶν ὡς πολιούχου.

Ὦ Μηνᾶ πολύτλα,ἱκέτευε τόν Κτίστην,ὑπέρ ἡμῶν ἀπαύστως.

῾Η πόλις αὕτη,Μάρτυς,τοῦ Χάνδακος κομπάζει,ἔχουσα τόν ναόν σου.

Δόξα

Ὦ τριάς ῾Αγία,Πατήρ,Υἱός καί Πνεῦμα,ἐλέησον σούς δούλους.

Καί νῦν

Παρθένε Παναγία,δυσώπει τόν Υἱόν σου,μετά τοῦ ἀθλοφόρου.

www.tezaurliturgic.ro



# Π Α Ρ Α Ρ Τ Η Μ Α

## 'Αναγνώσματα 'Αγίου Μηνᾶ.

### Προφητείας 'Ησαΐου τό ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Πάντα τά ἔθνη συνήχθησαν ἅμα,καί συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἤ τά ἐξ ἀρχῆς,τίς ἀκουστά ποιήσει ὑμῖν; 'Αγαγέτωσαν τούς μάρτυρας αὐτῶν καί δικαιωθήτωσαν,καί εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες,καί ἐγώ μάρτυς Κύριος ὁ Θεός,καί ὁ παῖς,ὅν ἐξελεξάμην· ἵνα γνῶτε,καί πιστεύσητε,καί συνῆτε,ὅτι ἐγώ εἰμι."Εμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός,καί μετ'ἐμέ οὐκ ἔσται.'Εγώ εἰμι ὁ Θεός,καί οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων.'Εγώ ἀνήγγειλα καί ἔσωσα,ὠνείδισα,καί οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος.'Υμεῖς ἐμοί μάρτυρες,καί ἐγώ Κύριος ὁ Θεός· ὅτι ἀπ'ἀρχῆς ἐγώ εἰμι,καί οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω,καί τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός,ὁ λυτρούμενος ἡμᾶς,ὁ"Αγιος 'Ισραήλ.

### Σοφίας Σολομῶντος τό ἀνάγνωσμα.

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ,καί οὐ μή ἅψηται αὐτῶν βάσανος."Εδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι,καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν,καί ἡ ἀφ'ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν,ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης.Καί ὀλίγα παιδευθέντες,μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς,καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ.'Ως χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς,καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι,καί ὡς σπινθῆρες ἐκ καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη,καί κρατήσουσι λαῶν,καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ'αὐτόν,συνήσουσιν ἀλήθειαν,καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ,καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τό ἀνάγνωσμα.

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι,καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν,καί ἡ φροντίς αὐτῶν παρά 'Υψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας,καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς,καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν

www.tezaurliturgic.ro



τόν ζῆλον αὐτοῦ,καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν.'Ενδύσεται θώρακα,δικαιοσύνην· καί περιθήσεται κόρυθα,κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον,ὁσιότητα· ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν,καί ὡς ἀπό εὐκύκλου τόξου,τῶν νεφῶν,ἐπί σκοπόν ἁλοῦνται,καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. 'Αγανακτήσει κατ'αὐτῶν ὕδωρ θαλάσσης· ποταμοί δέ συγκλύσουσιν ἀποτόμως.'Αντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως,καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς,καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία,καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.'Ακούσατε οὖν,βασιλεῖς,καί σύνετε· μάθετε Δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους,καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν,καί ἡ δυναστεία παρά 'Υψίστου.

Δοξαστικόν 'Εσπερίων 'Αγίου Μηνᾶ.

῏Ηχος πλ.δ' Νη (ὑπό Ι. Βουτσινᾶ)



www.tezaurliturgic.ro





www.tezaurliturgic.ro





www.tezaurliturgic.ro



Δοξαστικόν Ἀποστίχων Ἁγίου Μηνᾶ

Ἦχος Δι ὑπὸ Ι. Βουτσινᾶ



www.tezaurliturgic.ro






Δοξαστικόν Αἴνων Ἁγίου Μηνᾶ

Ἦχος πλ.α' πα ὑπὸ Ι. Βουτσινᾶ.



www.tezaurliturgic.ro





www.tezaurliturgic.ro





www.tezaurliturgic.ro

Γ. ΣΥΡΚΑ.
1ον

# Ἁγίου Μηνᾶ

## Ἦχος πλ. δ'



www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# Ἀπολυτίκιον Ἁγίου Μηνᾶ 11/11.

Ἦχος δ' Δι



www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# Δοξαστικόν

## Ἦχος πλ. α' Πα



www.tezaurliturgic.ro



www.tezaurliturgic.ro



www.tezaurliturgic.ro



## Απόστιχα

Ήχος Δ' Λέγετος



www.tezaurliturgic.ro

**Τῇ 11ῃ τοῦ Νοεμβρίου**
**Μνήμη τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος**
**ΜΗΝΑ ΤΟΥ ΑΙΓΥΠΤΙΟΥ**

## Κανόνες

**Ὠδὴ γ΄, Ἦχος α΄.**
**Τῷ πρὸ τῶν αἰώνων.**

Πάντων πρὸ αἰώνων οὓς προέγνω ὁ πάντας θεώμενος, τούτους προώρισεν ἐνθέως, καὶ ἐδόξασε πάνυ, Χριστὸς ὁ Θεὸς πανένδοξε, ὧν σὺ ὑπάρχων Μηνᾶ παμφαής, παρ᾽ αὐτοῦ δεδόξασαι.

Ἵλεως σοῖς δούλοις, ὁ Υἱὸς τοῦ Θεοῦ ὁ παντέλειος, διὰ τοῦ σοῦ σεπτοῦ οἰκέτου, γίνου πᾶσιν οἰκτίρμων, Μηνᾶ μόνε ὑπεράγαθε, καὶ τῶν κινδύνων ἡμᾶς ἐξελών, σῶσον τῷ ἐλέει σου.

Σάλου τρικυμίας, καὶ παθῶν ἀτιμίας ἀπάλλαξον, ἡμᾶς πανένδοξε προστάτα, ἀθλητὰ γενναιόφρον, Μηνᾶ εὐσεβῶν κραταίωμα, σὺ γὰρ μεγίστην πλουτεῖς πρὸς Χριστόν, παρρησίαν ἔνδοξε.

Θεοτοκίον

Τάξεις σε Ἀγγέλων, ὡς Βασίλισσαν πάντων ὑμνοῦσι σε, καὶ εὐφημοῦσιν ἀσιγήτως, ὑπερένδοξε Κόρη, σὺ γὰρ τούτους κατελάμπρυνας, τῷ τοκετῷ σου Ἁγνὴ θαυμαστῶς, ὑπὲρ λόγον Ἄχραντε.

**Ὠδὴ στ΄**
**Σπλάγχνων Ἰωνᾶν.**

Νίκης σε Χριστός, στεφάνοις ἐστέψατο, Μηνᾶ δυσμενεῖς καταπαλαίσαντα, καὶ ῥυσάμενον, τῆς αὐτῶν κακουργίας ὡς Μάρτυς στεῤῥός, τοὺς λαοὺς μετ᾽ εὐφροσύνης ἀνακράζοντας, σύ μου εἶ Χριστὲ κραταίωμα, ὁ τὸ πᾶν συστησάμενος νεύματι.

Ὥσπερ ἀστραπή, ἐν ζόφῳ κατέλαμψεν, ἡ χάρις τῶν σῶν ῥημάτων ἔνδοξε, καὶ ἐφώτισε τοὺς ἐν σκότει ἀγνοίας τελοῦντας τὸ πρίν, τῷ φωτὶ προσαγαγοῦσα ἐνθεώτατα, κράζοντα Μηνᾶ θαυμάσιε, σὺ ὑπάρχεις ἡμῶν ἡ ἀντίληψις.

Ὡς τις καρτερῶς ἀδάμας στεῤῥότατος, σὺ ὤφθης Μηνᾶ καταξαινόμενος, καὶ φλεγόμενος ταῖς λαμπάσι καὶ πᾶσι μαστίζων δεινοῖς, τὸ θαυμάσιον Χριστοῦ καὶ θεῖον ὄνομα, κράζων τὰς ὀδύνας ἔνδοξε, ὡς οὐδὲν ἐλογίσω θαυμάσιε.

Θεοτοκίον

Σῶσον τοὺς πιστοὺς Ἁγνὴ παμμακάριστε, ἐκ πόθου ἀεὶ δοξολογοῦντας σε, καὶ ἀπάλλαξον τῶν κινδύνων, καὶ πάσης Ἁγνὴ προσβολῆς, καὶ φωτὸς τοῦ ἀνεσπέρου καταξίωσον, πίστει Παναγία ᾄδοντας, Θεοτόκε Παρθένε ὑμνοῦμεν σε.

**Ἀπολυτίκιον. Ἦχος δ΄.**

Ὡς τῶν ἀσωμάτων συνόμιλον, καὶ τῶν Ἀθλοφόρων ὁμόσκηνον, συνελθόντες ἐν πίστει Μηνᾶ εὐφημοῦμεν σε, εἰρήνην τῷ κόσμῳ αἰτούμενοι καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Ἑορτὴ πανεύσημος τοῦ ἀθλοφόρου, νῦν ἐπέστη ἅπαντας καταφωτίζουσα βοᾶν, μάρτυς Μηνᾶ ἀξιάγαστε, τοὺς σὲ ὑμνοῦντας, συντήρει θαυμάσιε.

**Μεγαλυνάριον**

Θαυμασίων πάντων σε ὁ Χριστὸς ἀνέδειξε Μάρτυς, καὶ τεράτων ὑπερφυῶν, αὐτουργὸν διὸ τοὺς σὲ τιμῶντας, παντὸς κινδύνου σῶζε, Μηνᾶ πανένδοξε.